# TEZAUR LITURGIC

## 25 OCTOMBRIE
## ISIDORA AGHIROTITISSA

# PARACLISUL SF.CUVIOASE TAVITA DE LA IOPPE

**ATENA,2020**


ΑΠΟCΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗC ΕΚΚΛΗCΙΑC ΤΗC ΕΛΛΑΔΟC

# 25 ΟΚΤΩΒΡΙΟΣ
# ΤΑΒΙΘΑ ΕΝ ΙΟΠΠῌ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*
Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Φιλαδελφείας τὸν λαμπρὸν χαρακτῆρα, δικαιοσύνης τὴν πυρφόρον λαμπάδα, τῶν ἀρετῶν κειμήλιον, ζωῆς θησαυρόν, μέλψωμε φιλάγιοι, Ταβιθὰ τὴν ἁγίαν, ταύτῃ ἀνακράζοντες, ἐκ βαθέων καρδίας· τῆς σῆς ἀγάπης δώρησαι ἡμῖν, τὰς ἀντιδόσεις, ἐλέους ἐν χάρισιν.

*Δόξα.*

Ἡ τῆς Ἰόππης περιώνυμος πόλις, τῇ σῇ ἐνδόξῳ Ταβιθὰ πανηγύρει, μητροπρεπῶς ἀγάλλεται, σκιρτῶσα χαρᾷ· Πέτρος δὲ Ἀπόσστολος, ὁ ζωήν σοι ἐμπνεύσας, χάριτι γηθόμενος, τῆς χορείας προάρχει, καὶ συγκαλεῖται πάντας τοῦ βοᾶν· χαίροις ὦ Μῆτερ, ἐλέους ἐπώνυμε.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἐλαίῳ εὐποιΐας σου, ὦ Ταβιθά, προστρέχω. Ἰσιδώρας*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Ἐλαίῳ ἀγάπης πληρωτικῆς, ψυχῆς σου τὸν λύχνον, ἑτοιμάσασα Ταβιθά, εἰσῆλθες παρθένος ὡς φρονίμη, εἰς τοῦ φωτὸς τὸν νυμφῶνα τὸν πάντερπνον.

Λαμπρύνασα βίον σου Ταβιθά, ἐλπίδι καὶ πίστει, καὶ ἀγάπῃ τῇ καθαρᾷ, ἐν ἔργοις γνησίας εὐποιΐας, ὑπὲρ χρυσοῦ διαλάμπεις τοῖς πέρασιν.

Ἁγνείας κειμήλιον τιμαλφές, συνέσεως πλοῦτος, σωφροσύνης περιωπή, σφραγὶς ἀγαθότητος τελείας, ὢ Ταβιθὰ ἐλεῆμον ἐγνώρισαι.

Ἰδὼν σου καρδίας τὸ εὐγενές, ψυχῆς σου τὸ κάλλος, καὶ τῆς γνώμης σου τὸ εὐθές, Θεὸς Ταβιθὰ ὁ παντεπόπτης, ἐν ἀγαθοῖς τὴν ζωήν σου ἐβράβευσεν.

*Θεοτοκίον.*

Ὡς πύλην χρυσήλατον Μαριάμ, Προφήτης Σε εἶδεν, ἐν συμβόλοις εἰκονικῶς, ἐκ Σοῦ γὰρ διῆλθεν ἀποῤῥήτως, ὁ Βασιλεὺς τῶν αἰώνων καὶ Κύριος.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἐκ πρωΐας καὶ ὄρθρου ἕως νυκτὸς πάνσεμνε, λόγους νουνεχῶς ἐμελέτας, τοὺς τοῦ Κυρίου σου, καὶ τὰς Αὐτοῦ ἐντολάς, ἐν συνειδήσει εὐθείᾳ, Ταβιθὰ ἐφύλαττες, δούλη ὡς ἔμπιστος.

Ὑψηλῇ διανοίᾳ δεῦτε πιστοὶ ᾄσωμεν, τὴν ἐν ὑψηλαῖς ἀριστείαις, ἐνδιαπρέψασαν, καὶ ἐργασίαις καλαῖς, διακριθεῖσαν ἀξίως, Ταβιθὰ τὴν ἔνδοξον, καὶ θεοτίμητον.

Πτερωθεῖσα τῷ πόθῳ τοῦ θεϊκοῦ ἔρωτος, ὕλην Ταβιθὰ τῶν ματαίων, πᾶσαν κατέλιπες, καὶ ἀρετῶν τῇ σπουδῇ, εἰς οὐρανοὺς μετὰ δόξης, ἀναβασᾶσα ἔβλεψας, κάλλη τὰ ἄῤῥητα.

Ὁμονοίας εἰρήνης καταλλαγῆς γέγονας, ἔσοπτρον λαμπρὸν ἀπαυγάζον, τὴν ὡραιότητα, τοῦ εἰρηνάρχου Θεοῦ, Ὃν Ταβιθὰ ἐκ καρδίας, καθαρᾶς ἠγάπησας, φίλτρῳ ἀμείνονι.

*Θεοτοκίον.*

Ἰατρὸν τοῖς ἀνθρώποις ὑπερφυῶς τέτοκας, πάθη τῶν ψυχῶν καὶ σωμάτων, τὰ ἀῤῥωστήματα, εὐσυμπαθήτῳ χειρί, ἀποσοβοῦντα Παρθένε, ὡς Θεὸς καὶ ἄνθρωπος, τὸ συναμφότερον.

Ἀνόθευτον, ἡμῖν παράσχου ἀγάπην πρὸς τὸ πλησίον, ταῖς πρεσβείαις σου Ταβιθὰ ἐλέους ἐπώνυμε, ἐν πράξεσι θείας ἀγαθωσύνης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἐλέους Θεοῦ τὴν χάριν τὴν ἀμέτρητον, ἐν πράξει ζωῆς, ἀξίως ἐξηγόρασας, Ταβιθὰ ἀοίδιμε· τὸν πλησίον ἄμετρα στέρξασα, καὶ ἐν ἀγάπης ἔργοις ἀγαθοῖς, τὸν πλοῦτον λαβοῦσα τὸν ἀκίβδηλον.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἱλαρότητι πνεύματος, καὶ καρδίας γνώμῃ εὐσυμπαθήτῳ σου, τοῖς πεινῶσι διεσκόρπισας, Ταβιθὰ τὸν ἄρτον ὡς φιλάδελφος.

Ἀγλαΐζεται ἅπασα, τῶν πιστῶν ὁμήγυρις καὶ εὐφραίνεται, Ταβιθὰ τῇ πανηγύρει σου, Ἐκκλησίας πέλεις γὰρ ἀγλάϊσμα.

Σελασφόροις σου λάμψεσι, Ταβιθὰ τὸ σκότος ἐναπεμείωσας, καὶ τὸ φῶς τῆς Ἀναστάσεως, ὡς ἡμέρας τέκνον πᾶσιν ἔδειξας.

Συμφωνίας σε ὄργανον, καὶ μελῳδεστάτην κιθάραν ἔγνωμεν, ἁρμονίαν τὴν οὐράνιον, Ταβιθὰ ἠχοῦσα ἐν τοῖς πέρασιν.

*Θεοτοκίον.*

Ὁ τοῦ σύμπαντος Κύριος, μήτραν Σου Παρθένε ἁγνὴ κατῴκησεν, καὶ παλάτιόν Σε ἔμψυχον, τῆς Αὐτοῦ σαρκώσεως εἰργάσατο.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὕψιστον Θεόν, μετὰ πάσης διαθέσεως, καὶ τὸν ἄνθρωπον ὡσαύτως ἐκτενῶς, ἐν συμπαθείᾳ Ταβιθὰ θερμῶς ἠγάπησας.

Ὢ τῶν θαυμαστῶν, μεγαλείων ὧν ἐποίησε, μετὰ σοῦ ὁ παντουργέτης Ταβιθά, ὅτι ἐκ κλίνης νεκρικῆς σε ἐξανέστησε.

Τέκνον Ταβιθά, τῆς χρηστότητός σε ἔγνωμεν, καὶ μητέρα ἀγαθότητος πολλῆς, φιλοστοργίας καὶ ἁπλότητος διδάσκαλον.

Ἄγγελος καθώς, ἐν τῷ κόσμῳ πεπολίτευσαι, Ταβιθὰ ἀρνησαμένη σεαυτήν, καὶ τῷ Κυρίῳ, γενομένη δῶρον ἅγιον.

*Θεοτοκίον.*

Βρύσις δωρεῶν, τῶν ἀΰλων ἀνεξάντλητος, Σὺ ὑπάρχεις Θεοτόκε Μαριάμ, ὡς τὸν δοτῆρα τῶν καλῶν ἀποκυήσασα.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἱκάνωσον, τὴν ψυχήν μου πράξεσι, Ταβιθὰ ταῖς φωτειναῖς ἀριστεύειν, καὶ τῶν καλῶν, ταῖς ἰδέαις ἁπάσαις, τὸν τῆς καρδίας μου λύχνον εὐπρέπισον, καὶ δώρησαί μοι καθορᾶν, τοῦ ἀκτίστου φωτὸς τὴν λαμπρότητα.

Θεράπαινα, τοῦ Θεοῦ γεγένησαι, καὶ ἐργάτης τῶν Αὐτοῦ θελημάτων, δούλη πιστή, οἰκονόμος τιμία, καὶ ἐραστὴς τῶν καλῶν ἀνυπόκριτος, Αὐτὸν ἐρῶσα Ταβιθά, ὃς ἐστὶν ἐφετῶν τὸ ἀκρότατον.

Ἀκοίμητα, σῆς ψυχῆς τὰ ὄμματα, ἐγρηγόρσει σου πολλῇ διετήρεις, καὶ ἐκτενῶς, τῷ Κυρίῳ ὡμίλεις, ὢ Ταβιθὰ ἐν φωνῇ οἰκειότητος, τῆς νήψεως καὶ προσευχῆς, ὡς λαμπὰς διαυγὴς καὶ ὑπέρφωτος.

Ποτίσασα, δαψιλῶς τοὺς αὔλακας, τῆς ψυχῆς σου Ταβιθὰ μακαρία, ταῖς θεϊκαῖς, ἐπομβρίαις ἐλέους, τὴν παγκαρπίαν πλουσίως ἐθέρισας, καὶ στάχυν θεῖον τῆς ζωῆς, τὸν Χριστὸν τοῖς πεινῶσιν ὑπέδειξας.

*Θεοτοκίον.*

Ῥωννύμενοι, κατ’ ἀμφοῖν πανύμνητε, διὰ Σοῦ μετὰ χαρᾶς Σοι τὸ χαῖρε, ὅλῃ ψυχῇ, καὶ καρδίᾳ βοῶμεν, ὅτι Θεὸν ἀληθῶς ἀπεγέννησας, τὰ πάθη πάντα τῆς ψυχῆς, καὶ σαρκὸς δωρεὰν ἀπαλείφοντα.

Ἀνόθευτον, ἡμῖν παράσχου ἀγάπην πρὸς τὸ πλησίον, ταῖς πρεσβείαις σου Ταβιθὰ ἐλέους ἐπώνυμε, ἐν πράξεσι θείας ἀγαθωσύνης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Μαρτυρίαν τὴν ἀληθινὴν ἐπεσφράγισας, τοῦ Κυρίου τὰς παραγγελίας φυλάξασα, τοῖς πεινῶσι μεταδιδοῦσα ἄρτον Ταβιθά, γυμνοῖς ἔνδυμα εἰς θαλπωρήν, ὡς ἀδελφόν σου δὲ ἀεί, τὸν πλησίον κουφίζουσα· ἤκουσας οὖν εὐλόγως, τὸν ἔπαινον τῶν δικαίων, καὶ εἰς νυμφῶνα τῆς χαρᾶς, μετὰ δόξης εἰσελήλυθας.

Προκείμενον: *Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.*

Στ.: *Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν.*

*Εὐαγγέλιον.*

Δόξα: *Ταῖς τῆς Σῆς Ἁγίας...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Δάκρυσι κοπτόμενοι, καὶ γοερῶς θρηνῳδοῦντες, Ταβιθὰ οἱ πένητες, νεκρικῷ κραβάτῳ σου πέριξ ἵσταντο, ταῖς χερσὶ ἔχοντες, ἀγαθῶν ἐλέη, καὶ ἱμάτια ἃ ἔδιδες, ἑστὼς ὁ Πέτρος δέ, τούτων συμπαθείᾳ ἐπήκουσε· καὶ αὖθις ἀνεβόησε, Ταβιθά σοι λέγω ἐγέρθητι· θαῦμα τοῦτο μέγα, μελούσης Ἀναστάσεως κοινῆς, ἣν προσδοκῶμεν βεβαίωσις, Θεὸς ὡς ὑπέσχετο.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Οὐρανὸς ὥσπερ ἄλλος διηγεῖ μεγαλεῖα τὰ ὑπερκόσμια, καὶ γὰρ τῇ Ἐκκλησίᾳ, ἀστὴρ ὡς σελασφόρος, Ταβιθὰ ἐξανέτειλας, τοὺς κατοικοῦντας ἐν γῇ, φωτίζουσα πρεπόντως.

Συναφείᾳ ἀῤῥήτῳ τῷ Θεῷ σου ἡνώθης τῷ ἐλεήμονι, καὶ γὰρ τοῖς ἀσθενοῦσι, γυμνοῖς τε καὶ πεινῶσι, Ταβιθὰ ἀναδέδειξαι, ὡς συμπαθὴς ἀρωγός, ἐλέει σῆς προνοίας.

Τὴν ἁγίαν σου μνήμην Ταβιθὰ ἐλεῆμον συνεορτάζουσι, Ἀγγέλων στρατηγίαι, βροτῶν χοροστασίαι, καὶ τὰ θεῖα πληρώματα, ἀπὸ κοινοῦ σοι σεμνή, τὸ χαῖρε ἐκβοῶντες.

Ῥάβδῳ θείας σοφίας Ταβιθὰ στηριχθεῖσα καλῶς τετέλεκας, τῆς πίστεως τὸν δρόμον, βοῶσα ὡς ὁ Παῦλος, τῷ Θεῷ ἐν ἐξόδῳ σου· Σοῦ ταὶς χερσὶν ἀγαθέ, ψυχήν μου παραθέτω.

*Θεοτοκίον.*

Ἐπανόρθωσις κόσμου Σὺ ὑπάρχεις Παρθένε θεοχαρίτωτε, καὶ γὰρ ἀπειρογάμως, ἀπέτεκες τῷ κόσμῳ, τὸν Θεὸν μετὰ σώματος, τὸν ἀνορθοῦντα χειρί, Αὐτοῦ ἀνθρώπων γένος.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Χηρῶν ἀκούσας, καὶ ὀρφανῶν τοὺς θρηνώδεις, ὀδυρμοὺς Ταβιθὰ θεῖος Πέτρος, λόγῳ σε ἐκ κλίνης, ἐξήγειρε θανοῦσαν.

Ὡς χρυσοπτέρυξ, περιστερὰ εἰς τὰ κάλλη, Ταβιθὰ τὰ οὐράνια ἦλθες, πτέρυξιν ἀΰλοις, ἀγάπης τῆς τελείας.

Ἴχνεσι θείοις, τῶν ἱερῶν Ἀποστόλων, Ταβιθὰ μακαρία στοιχοῦσα, πάντα ὅσα εἶχες, τοῖς χρήζουσιν ἐδίδους.

Σκεῦος ἐγένου, τῆς ἐκλογῆς ὡς ὁ Παῦλος, ἐντολὰς Ταβιθὰ τοῦ Κυρίου, πᾶσας εὐαρέστῳ, ποιοῦσα διαθέσει.

*Θεοτοκίον.*

Ἰδοὺ Σὲ πᾶσαι, αἱ γενεαὶ τῶν ἀνθρώπων, μακαρίζουσι Κόρη Παρθένε, ὡς σαρκὶ τεκοῦσα, Θεὸν καὶ Βασιλέα.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Δορκὰς ὥσπερ τιμία, ὄρεσιν ἁγίοις, τῆς ὑψηλῆς θεωρίας σεμνὴ Ταβιθά, ἐν ἀγαθότητι τρόποις, θείως κατέπαυσας.

Ὡς ὄρθρος ὡς ἡμέρα, θείας πανδαισίας, ὦ Ταβιθὰ μακαρία ἐπέστη ἡμῖν, ἡ παναγία σου μνήμη, πάντας λαμπρύνουσα.

Ῥοαῖς ταῖς ζωηῤῥύτοις, τοῦ Εὐαγγελίου, μετὰ ζεούσης καρδίας καὶ πόθου πολλοῦ, ὦ Ταβιθὰ προσδραμοῦσα, δίψαν σου ἔσβεσας.

Ἁγνείας σωφροσύνης, καὶ ἀκτημοσύνης, ὦ Ταβιθὰ σὺ ἐγνώσθης γνησία εἰκών, ἀποτυπώσασα κάλλη, τὰ ἀξιέραστα.

*Θεοτοκίον.*

Σιγῶσι Παναγία, Δέσποινα Παρθένε, τῶν εὐλαλούντων ῥητόρων τραναὶ λαλιαί, ἐν Σοὶ Θεὸς ἀποῤῥήτως, σάρκα γὰρ ἔλαβεν.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ἵνα τῷ Κυρίῳ σου ἀρεστή, γένῃ ἐν τοῖς ἔργοις, ἁγιότητος Ταβιθά, ἔστεργες τοὺς ἄλλους, στοργῇ ἀνυποκρίτῳ, ταῖς χρείαις τοῦ πλησίον, διακονήσασα.

Ὄρθρος ὡς ἡμέρας ἀειφεγγοῦς, ἔλαμψας τῷ κόσμῳ, θεοκόσμητε Ταβιθά, λύουσα τὰ νέφη, κακίας βαθυτάτης, παθῶν τε τὴν ὁμίχλην, διασκεδάζουσα.

Πτέρυξιν ἀγάπης ὁλοτελοῦς, ἤρθης εἰς τὰ ὕψη, τὰ οὐράνια Ταβιθά, ἔνθα κατοπτεύεις, τὸ κάλλος σοῦ Νυμφίου, τοῦ ἔχοντος ἐλέους, ἄμετρον πέλαγος.

Πένησιν ἐγένου διατροφή, ὕδωρ τοῖς διψῶσι, περιβόλαιον τοῖς γυμνοῖς, τοῖς ἐν περιστάσει, φιλόξενος προστάτης, ὢ Ταβιθὰ τὰ πάντα, πᾶσι παρέχουσα.

Ἦρας ὀφθαλμούς σου τοὺς νοητούς, ὄρη εἰς τὰ θεῖα, τοῦ Κυρίου σου Ταβιθά, ἔνθεν Τούτου εὗρες, ἀρίστην συμμαχίαν· ἐχθροῦ διὸ καθεῖλες, τὰ μηχανήματα.

Σέβας σοι προσφέρομεν Ταβιθά, πάντες οἱ τιμῶντες, ἀριστείας σου τὰς λαμπράς, αἶνον δὲ καὶ δόξαν, Κυρίῳ προσφωνοῦμεν, τῷ θείαις ἀγλαΐαις, σὲ θαυμαστώσαντι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός

ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Χαίροις, τῆς ἀγάπης ἡ σπουδή, ἐλεημοσύνης ἡ πρᾶξις, φιλαδελφείας λαβίς, χρίσις ἀνεξίτηλος, τῆς συμπαθείας τε, τῆς χρηστότητος δώρημα, θυσίας ὁ ὅρος, θείας ἀγαθότητος, ἡ ἀντιμέτρησις· χαίροις, Ταβιθὰ μακαρία, τοῦ Εὐαγγελίου τοὺς λόγους, ἐν σαὐτῇ ἀσμένως ἐφαρμόσασα.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.